αρθρ. στιχ.

κἀξεῦρεν ἁρμόττοντας εἰς ἄρσιν τρόπους· λζ. 787
ὁ γὰρ τόδε γνοὺς τοῦδ' ὁμοῦ τε τὴν φύσιν,
οὗτος σάφ' ἔγνω τοῦδε τὸ σθένος θ' ὅσον·
ὃς γνοὺς θ' ὅσ' ἁρμόττοντα τοῦδ' ἀναιρέσει,
ταῦθ' ἃ προπέσσει τ' εὐτρεπίζει τ' εἰκότως,
ταῦθ' ἅσσ' ἀνατρέπει τε πᾶν τοῦδε σθένος,
τούτοισί θ' ὥσπερ ὀργάνοις κεχρημένος
ἀνεῖλε ῥᾷστα σύμπαν ἐκ μέσου τόδε.
ἁπλοῦν δ' ὂν εὐχείρωτον ἁπλοῖς κὠλίγοις,
τοῖς δ' οὖν ἀνατρέπουσι τοῦδε τὸ σθένος,
εὐαίρετόν τ' ἐστ', ἐμφανές τε τοῦθ' ἅμα·
οὐκ ἀντιδρᾷ γὰρ σὺν σθένει πολλῶν ἅμα,
οὐ πολλαπλασίῳ τε τῇ τῶνδε δράσει, λη. 814
κοὐδ' ἐστι πλήθει τῶνδ' ἐπεσκιασμένον.
ἁπλοῦν ὅσῳ γ' οὖν ἐμφανέστερον θ' ὅσῳ (α) λθ. 612 κ' ἑξ
τὸ δρῶν, τοσούτῳ ῥᾷον ηὐπόρησέ τις
δι' ὧν ἀνεῖλε σύμπαν ἐκ μέσου τόδε,
ἁπλουστέρων μᾶλλον δὲ κὠλίγων ὅσων
δι' ὧν ἅμ' ἠμαύρωσε τοῦδε τὴν δρᾶσιν.
M. Ἐξ ὧν περαίνειν ταῦτ' ἔνεστιν εὐπόρως·
ὧνπερ νόσων μὲν ἐμφανὴς ἥδ' αἰτία, λθ. 823
τῶνδ' ἐστὶν ἡ ἄλθεξις εὐχερεστάτη, λθ. 831
ὧνπερ δ' ἄδηλος, τῶνδε δυσχερεστάτη.
ὃ φάρμακον δ' ἀνεῖλε ληφθὲν αἰτίαν,

τόδ'

(α) Περὶ φύσ. ἀνθρ. κε.